# [ΑΡΙΣΤΟΤΕΛΟΥΣ] ΙΑΤΡΙΚΩΝ ΜΕΝΩΝΕΙΩΝ

## FRAGMENTA RELIQUA

### I. [Fragm. V. Rose 335 Berol., 373 Lips.]

Galenus in comm. ad I Hipp. de nat. hom. (XV 25 sq. K.): καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν Φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει. καί σοι πάρεστιν, εἰ χαίροις τῇ περὶ τούτων ἱστορίᾳ, τὰς τοῦ Θεοφράστου βίβλους ἀναγνῶναι, καθ' ἃς τὴν ἐπιτομὴν ἐποιήσατο τῶν Φυσικῶν δοξῶν, ὥσπερ γε πάλιν εἰ τὰς τῶν παλαιῶν ἰατρῶν δόξας ἐθέλοις ἱστορῆσαι, πάρεστί σοι τὰς τῆς ἰατρικῆς συναγωγῆς ἀναγνῶναι βίβλους, ἐπιγεγραμμένας μὲν Ἀριστοτέλει, ὁμολογουμένας δὲ ὑπὸ τοῦ Μένωνος, ὃς ἦν μαθητὴς αὐτοῦ, γεγράφθαι, διὸ καὶ Μενώνεια προσαγορεύουσιν ἔνιοι ταυτὶ τὰ βιβλία. δῆλον δὲ ὅτι καὶ ὁ Μένων ἐκεῖνος, ἀναζητήσας ἐπιμελῶς τὰ διασῳζόμενα κατ' αὐτὸν ἔτι τῶν παλαιῶν ἰατρῶν βιβλία, τὰς δόξας αὐτῶν ἐκεῖθεν ἀνελέξατο. τῶν δ' ἤδη διαφθαρμένων παντάπασιν, ἢ σῳζομένων μέν, οὐ θεωρηθέντων (?) δ' αὐτῷ, τὰς γνώμας οὐκ ἠδύνατο γράψαι. κατὰ ταῦτ' οὖν τὰ βιβλία χολὴν ξανθὴν ἢ μέλαιναν ἢ φλέγμα στοιχεῖον ἀνθρώπου φύσεως οὐκ ἂν εὕροις οὐδ' ὑφ' ἑνὸς εἰρημένον, αἷμα δὲ καὶ τῶν μεθ' Ἱπποκράτην φαίνονται πολλοὶ μόνον εἶναι νομίζοντες ἐν ἡμῖν, ὥστε καὶ τὴν πρώτην γένεσιν ἡμῶν ἐξ αὐτοῦ γίγνεσθαι, καὶ τὴν μετὰ ταῦτα κατὰ τὴν μήτραν αὔξησιν καὶ ἀποκυηθέντων τελείωσιν.

### II. [R. 336 B. 374 L.]

Laertius Diogenes V 61: γεγόνασι δὲ Στράτωνες ὀκτώ· πρῶτος Ἰσοκράτους ἀκροατής· δεύτερος αὐτὸς οὗτος [philosophus]· τρίτος ἰατρός, μαθητὴς Ἐρασιστράτου, ὡς δέ τινες, τρόφιμος, ... ἕβδομος ἰατρὸς ἀρχαῖος ὡς Ἀριστοτέλης φησίν.

### III. [R. 337 B. 375 L.]

Plutarchus Quaest. conviv. VIII 9, 3: καὶ μὴν ἔν γε τοῖς Μενωνείοις σημεῖον ἡπατικοῦ πάθους ἀναγέγραπται τὸ τοὺς κατοικιδίους μῦς ἐπιμελῶς παραφυλάττειν καὶ διώκειν.

---

Fr. I 7 Ἀριστοτέλους Cobetus    12 an οὐχ εὑρηθέντων?
Fr. II cf. M. Wellmann *Jahrb. f. cl. Philol.* 1892 (CXLV) 675
Fr. III μελωνείοις codex: corr. I. A. Fabricius